# ΙΩΑΝΝΟΥ Γ

**1** Ὁ πρεσβύτερος Γαΐῳ τῷ ἀγαπητῷ, ὃν ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ.
**2** Ἀγαπητέ, περὶ πάντων εὔχομαί σε εὐοδοῦσθαι καὶ ὑγιαίνειν,
καθὼς εὐοδοῦταί σου ἡ ψυχή. **3** ἐχάρην γὰρ λίαν ἐρχομένων ἀδελφῶν
καὶ μαρτυρούντων σου τῇ ἀληθείᾳ, καθὼς σὺ ἐν ἀληθείᾳ περιπατεῖς.
**4** μειζοτέραν τούτων οὐκ ἔχω ⸀χαράν, ἵνα ἀκούω τὰ ἐμὰ τέκνα ἐν ⸀τῇ ἀληθείᾳ
περιπατοῦντα.
**5** Ἀγαπητέ, πιστὸν ποιεῖς ὃ ἐὰν ἐργάσῃ εἰς τοὺς ἀδελφοὺς καὶ ⸀τοῦτο
ξένους, **6** οἳ ἐμαρτύρησάν σου τῇ ἀγάπῃ ἐνώπιον ἐκκλησίας, οὓς καλῶς
ποιήσεις προπέμψας ἀξίως τοῦ θεοῦ· **7** ὑπὲρ γὰρ τοῦ ὀνόματος ἐξῆλθον μηδὲν
λαμβάνοντες ἀπὸ τῶν ⸀ἐθνικῶν. **8** ἡμεῖς οὖν ὀφείλομεν ⸀ὑπολαμβάνειν τοὺς
τοιούτους, ἵνα συνεργοὶ γινώμεθα τῇ ἀληθείᾳ.
**9** Ἔγραψά ⸀τι τῇ ἐκκλησίᾳ· ἀλλ’ ὁ φιλοπρωτεύων αὐτῶν Διοτρέφης οὐκ
ἐπιδέχεται ἡμᾶς. **10** διὰ τοῦτο, ἐὰν ἔλθω, ὑπομνήσω αὐτοῦ τὰ ἔργα ἃ ποιεῖ,
λόγοις πονηροῖς φλυαρῶν ἡμᾶς, καὶ μὴ ἀρκούμενος ἐπὶ τούτοις οὔτε αὐτὸς
ἐπιδέχεται τοὺς ἀδελφοὺς καὶ τοὺς βουλομένους κωλύει καὶ ἐκ τῆς ἐκκλησίας
ἐκβάλλει.
**11** Ἀγαπητέ, μὴ μιμοῦ τὸ κακὸν ἀλλὰ τὸ ἀγαθόν. ὁ ἀγαθοποιῶν ἐκ τοῦ
θεοῦ ἐστιν· ὁ κακοποιῶν οὐχ ἑώρακεν τὸν θεόν. **12** Δημητρίῳ μεμαρτύρηται
ὑπὸ πάντων καὶ ὑπὸ αὐτῆς τῆς ἀληθείας· καὶ ἡμεῖς δὲ μαρτυροῦμεν, καὶ ⸀οἶδας
ὅτι ἡ μαρτυρία ἡμῶν ἀληθής ἐστιν.
**13** Πολλὰ εἶχον ⸂γράψαι σοι⸃, ἀλλ’ οὐ θέλω διὰ μέλανος καὶ καλάμου σοι
⸀γράφειν· **14** ἐλπίζω δὲ εὐθέως ⸂σε ἰδεῖν⸃, καὶ στόμα πρὸς στόμα λαλήσομεν.
**15** Εἰρήνη σοι. ἀσπάζονταί σε οἱ φίλοι. ἀσπάζου τοὺς φίλους κατ’ ὄνομα.

---

**4** ***χαράν*** Treg NIV RP ] *χάριν* WH • ***τῇ*** WH Treg NIV ] – RP **5** ***τοῦτο*** WH Treg NIV ] *εἰς τοὺς* RP **7** ***ἐθνικῶν*** WH Treg NIV ] *ἐθνῶν* RP **8** ***ὑπολαμβάνειν*** WH Treg NIV ] *ἀπολαμβάνειν* RP **9** ***τι*** WH Treg NIV ] – RP **12** ***οἶδας*** WH Treg NIV ] *οἴδατε* RP **13** ***γράψαι σοι*** WH Treg NIV ] *γράφειν* RP • ***γράφειν*** WH Treg NIV ] *γράψαι* RP **14** ***σε ἰδεῖν*** WH Treg NIV ] *ἰδεῖν σε* RP